# 26 MARTIE
# ATANASIE SIMONOPETRITUL

# SLUJBA SOBORULUI SF.FTIOTIDEI

# MINEIUL-GR

# Ἀκολουθία
# τῶν ΕΝ ΦΘΙΩΤΙΔΙ ΑΓΙΩΝ

Ἱερομ. Ἀθ. Σιμωνοπετρίτου

Ψαλλομένη τῇ Κυριακῇ πρό τοῦ Εὐαγγελισμοῦ

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους ι΄ καί ψάλλομεν Στιχηρά Ἀναστάσιμα τοῦ ἤχου β΄, τοῦ Τριωδίου β΄ καί τῶν Ἁγίων Προσόμοια στ΄. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Κόσμου ἀποῤῥίψαντες, τάς ἐπικήρους φροντίδας, ὁλικῶς ἐστράφητε, πρός μελλόντων, Ἅγιοι, τήν ἀπόκτησιν· εἰς οὐδέν ἔχοντες, ὕλην, πλοῦτον, δόξαν, θείας χάριτος ἠθροίσατε, ἄφθιτα δράγματα, καί ζωήν διδόντα αἰώνιον· διά αἱ τῆς Φθιώτιδος, τῶν πιστῶν χορεῖαι ἀγάλλονται, καί θερμῶς αἰτοῦνται, Χριστόν ὑμᾶς πρεσβεύειν ἐκτενῶς, ὅπως δωρῆται ὡς εὔσπλαγχος, θεῖον Αὐτοῦ ἔλεος.

Πῦρ Ἁγίου Πνεύματος, λαβών ψυχῇ Ἡρωδίων, πρῶτος Εὐαγγέλιον, τοῦ Χριστοῦ ἐκήρυξας ἐν Φθιώτιδι, καί σοφοῖς ῥήμασιν, εἵλκυσας πρός Χάριν, ἐξ εἰδώλων πλήθη ἄπειρα, ἅπερ ἐκέντρισας, τῇ καλλιελαίῳ Δεσπότου σου, καί αἵμασιν ἐσφράγισας, τοῖς μαρτυρικοῖς τήν πορείαν σου· ὅθεν μή ἐλλείπῃς,

πρεσβεύειν ἐκτενῶς ὑπέρ ἡμῶν, ὅπως γνησίως βαδίζομεν, δρόμον τῆς θεώσεως.

Τήν Σιών ποθήσασα, τήν σήν επώνυμον Μάρτυς, ἄνω τήν καρδίαν σου, καί τόν νοῦν ἐκράτησας, Ἰσαπόστολε· ἔνθεν ὡς χριστόφθογγος, σάλπιγξ σωτηρίας, τήν Φθιώτιδα ἐξήγειρας, θείοις σου ῥήμασιν, Ἱερουσαλήμ παμμακάριστε, πᾶσι Χριστοῦ κηρύττουσα, τήν ὑπέρ ἡμῶν συγκατάβασιν, καί ἐν Ῥώμῃ στέφους, Μαρτύρων ἀνεδείχθης κοινωνός, ὑπέρ ἡμῶν ἱκετεύουσα, τῶν πιστῶς τιμώντων σε.

Ἐξ Ὑπάτης ἤνθησας, τῶν Μετεώρων ὁ στύλος, θεῖε Ἀθανάσιε, καί Χριστόν ἐδόξασας, τῇ ἀσκήσει σου· νῦν δέ εὐφραινομενος, εἰς αὐλάς Κυρίου, τῆς πατρίδος σου μνημόνευε, ἅμα Ἀγάθωνι, κτίτορι μονῆς Θεομήτορος, παγίδων ἐκλυτρούμενοι, ἄμφω τοῦ ἐχθροῦ ὁσιώτατοι, ἵνα σωτηρίας, τευξώμεθα εὐχαῖς ὑμῶν καλῶς, καί ἀγαθῶν συμμετάσχομεν, ὧν ὑμεῖς ἐτύχετε.

Γολιάθ κατέβαλες, τόν νοητόν τῷ σῷ βίῳ, ὦ Δαβίδ τρισόλβιε, Γαρδινίτσης γέννημα, εὐθαλέστατον· Σεραφείμ τάγμασι, σύ δέ ἡμιλλήθης, Σεραφείμ Ζελίου βλάστημα, τῇ πολιτείᾳ σου, τῇ ἀγγελικῇ παμμακάριστε· διό νῦν παριστάμενοι, σύνδυο τῷ θρόνῳ τῆς Χάριτος, χάριν ἐξαιτεῖσθε, δοθῆναι τοῖς τιμῶσιν εὐλαβῶς, ὑμᾶς Πατέρες θειότατοι, δόξα τῆς Φθιώτιδος.

Θείου Ἀρχιποίμενος, Ποιμήν ἐδείχθης Ὑπάτης, πάνσοφε Γρηγόριε, καί κλεινός συμμέτοχος, δι’

ἀθλήσεως, λογικόν πρόβατον, οἱάπερ ἐσφάγης, πρό τραπέζης τοῦ Δεσπότου σου, Ὅν καθικέτευε, σύν τῷ Νεκταρίῳ μακάριε, τῷ λόγοις διαπρέψαντι, ἐπ' ἐσχάτων χρόνων Φθιώτιδι, ὅπως τῶν πταισμάτων, παρίδῃ φιλανθρώπως τήν πληθύν, καί Βασιλείαν χαρίσηται, τοῖς ὑμᾶς γεραίρουσι.

Δόξα. Ἦχος πλ. β΄.

Δεῦτε τῶν χριστωνύμων Φθιωτῶν οἱ φιλάγιοι χοροί, ᾄσμασιν ἐγκωμίων, τούς ἐκ τῆς χώρας ἡμῶν ἁγιάσαντας, εὐφημήσωμεν σήμερον φαιδρῶς. Οὗτοι γάρ τήν τοῦ παρόντος κόσμου ὑπερβάντες φθοράν, τό ἄφθιτον κάλλος τῆς οὐρανῶν Βασιλείας μεθυστικῶς νῦν καθορῶντες, τῷ Δεσπότῃ Χριστῷ ὑπέρ ἡμῶν ἀεί καθικετεύουσιν. Οὕς ἀνυμνοῦντες ἐκ ψυχῆς εἴπωμεν· οἱ τό φθαρτόν γένος συμπατριῶται, καί τήν οὐράνιον κλῆσιν ὁμόκλητοι Ἅγιοι, πρεσβεύετε ὡς φιλάδελφοι, καί ἡμᾶς συγκλη-ρονόμους γενέσθαι, τῆς πεποθημένης καί ἀφθάρτου πατρίδος, ἧς ὑμεῖς καλῶς ἐπιτετυχήκατε.

Καί νῦν. Τό Θεοτοκίον τοῦ ἤχου.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ

ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε' 15 - στ' 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς

παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι˙ ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως˙ ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε˙ μάθετε δικασταὶ περάτων γῆς˙ ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν˙ ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ' 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη˙ καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ˙ βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς˙ ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ˙ διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι

χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Τό τῆς ὀγδόης ἄφθιτον κάλλος ποθήσαντες ὀκτάριθμοι Ἅγιοι, τῆς Φιώτιδος ἐδείχθητε πρός Κύριον λογικαί ἀπαρχαί, καί εὐχῖται αἰώνιοι. Ὅθεν πάντας ἀξιώσατε τῆς ἐν Κυρίῳ σωτηρίας, ὡς φιλάδελφοι καί φιλοπάτριδες, πειρασμῶν ἡμᾶς λυτρούμενοι, καί τῶν βίου συμφορῶν· ἐν δέ ταῖς ψυχαῖς τῶν ὑμνητῶν ὑμῶν ἐμβάλλοντες, τόν φόβον τοῦ Δεσπότου, καί τῶν μελλόντων ἀγαθῶν τήν ἀκλινῆ ἐπιπόθησιν.

Ἦχος β΄.

Ὑπογραμμόν καί τύπον τούς βίους ὑμῶν κατέχοντες Ἅγιοι ὀκτάριθμοι, τήν πρός Χριστον πορεῖαν ἀσφαλῶς βηματίζομεν, ἐν παντί πειρασμῷ τοῦ ἀντιδίκου ἐνδυναμούμενοι, ταῖς θεοπειθέσιν εὐχαῖς ὑμῶν· ὅθεν τήν τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι, δεόμεθα ἐκτενῶς, ὅπως συμμετόχους ποιήσητε τῆς χαρᾶς τοῦ Παραδείσου, τούς τήν κοινήν ὑμῶν καί περιχαρῆ μνήμην σήμερον ἑορτάζοντες.

Ἦχος γ΄.

Ἀποστόλους, Ἱεράρχας τε καί Ὁσίους, πλουτοῦσα ἡ ἁγιότεκνος Φθιῶτις, Σέ δοξάζει Κύριε, τόν ἀξιώσαντα ταύτην τῆς τοιαύτης τιμῆς, καί αἰτεῖται τήν πνευματικήν τελείωσιν τῶν ἐστρατευμένων αὐτῆς

τέκνων, ἅτινα διαφύλαττε φθορᾶς τῆς ἁμαρτίας, καί πειρασμῶν τοῦ ἐχθροῦ, ταῖς ἱκεσίαις τῶν Ἁγίων Σου, ἐσαεί ὡς φιλάνθρωπος.

Ἦχος δ'.

Τούς διά τοῦ λόγου καί τῆς ἱεραρχικῆς διακονίας, τῶν ὁσιακῶν ἱδρώτων καί τῆς αἱματεκχυσίας τήν Φθιώτιδα ἁγιάσαντες, δεῦτε πιστοί ἐπαξίως τιμήσωμεν, καί φιλοτίμως ἑνός ἑκάστου καί πάντων ὁμοῦ, τόν βίον μιμησώμεθα, εἰς κατόρθωσιν τῆς σωτηρίας. Οὕτω ταῖς ἀκοιμήτοις εὐχαῖς αὐτῶν στηριζόμενοι, σωθείημεν πάντες οἱ ἐνσημανθεντες, τῷ τοῦ Χριστοῦ ὀνόματι.

Δόξα. Ἦχος πλ. α'.

Τόν παλαμναῖον ἐκνικήσαντες ἐχθρόν, Ἅγιοι τῆς Φθιώτιδος, διά πολλῶν ὑμῶν ἀγώνων καί θλίψεων χαροπαρόχων, ἐλλιμενίσθητε ἀθανάτως εἰς τήν ἄνω Ἱερουσαλήμ, ἔνθα ὁρῶντες τό ἐράσμιον κάλλος τοῦ Δεσπότου, μή ἐπιλάθησθε τῶν ὑπολειπομένων ὁμοπατρίων, ὅπως πάντες ἀξιωθῶμεν ἀκλυδωνίστως, τῆς ὑμῶν θεορατικῆς ἀναπαύσεως.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε...

Εἰς τόν Στίχον. Τό α' Ἀναστάσιμον Στιχηρόν καί τῶν Ἁγίων Προσόμοια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Χαίροις ἡ Φθιῶτις ἐν Χριστῷ, μίαν ὀγδοάδα Ἁγίων, Αὐτῷ ἐνέγκασα, θεῖον Ἡρωδίωνα, σεμνήν Ἱερουσαλήμ, Ἀθανάσιον Ὅσιον, Ἀγάθωνα μέγαν,

Σεραφείμ φιλόθεον, Δαβίδ τόν Γέροντα, ἅμα τοῖς δυσίν Ἱεράρχαις, Γρηγορίῳ καί Νεκταρίῳ, τούς ὀγδόης νῦν κατατρυφήσαντας.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Ὕδασιν ἁγίων προσευχῶν, Ἅγιοι Φθιώτιδος πάντες, τήν γῆν ποτίσατε, ποίμνης τῆς θεόφρονος καί συντιμώσης ὑμᾶς, ὅπως σπέρματα Πνεύματος, πολλά ἐξενέγκῃ, τά Χριστοῦ ἐντάλματα καλῶς φυλάττουσα, καί εἰς ἀποθήκην τήν ἄνω, ἐναποτεθῇ αἰωνίως, τόν Θεόν φαιδρῶς ἀεί δοξάζουσα.

Στ. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χρόνος οὐ δυνήσεται ποσῶς, σβέσαι τήν ἀείφωτον δόξαν, ὑμῶν Ὀκτάριθμοι, μᾶλλον δέ πρός αὔξησιν, αὐτῆς γενήσεται, ὅτι μέτοχοι ὤφθητε, Χριστοῦ τῆς ἀφθάρτου, Βασιλείας ἅπαντες καί ἁγιότητος· ὅθεν, μνημονεύετε πάντας, τούς ἐν τῇ Φθιώτιδι ζῶντας, καί ἐπιποθοῦντας τά οὐράνια.

Δόξα. Ἦχος δ'.

Ἐγκαύχημα αἰώνιον καί βάσιν ἀσφαλῆ, ἡ τῆς Φθίας χώρα εὑραμένη, οὐ τόν θνητόν Ἀχιλλέα, ἀλλά τούς ὀκταρίθμους Ἁγίους, τούς ἐν ταύτῃ φύντας τε καί δράσαντας πολυειδῶς, σήμερον δημοτελῆ ποιεῖται τήν ὁμόϋμνον αὐτῶν πανήγυριν, καί τόν Δεσπότην Χριστόν εὐγνωμονοῦσα, αἰτητικήν ἀφίησι φωνήν· ἁγίασον Δέσποτα τήν ἐνταῦθα κληρουχίαν Σου, ταῖς θερμαῖς πρεσβείαις, τῶν ἐν χερσί Σου ἁγίων τέκνων μου.

Καί νῦν. Τοῦ Τριωδίου.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης. Ποίημα Μητροπολίτου Φθιώτιδος Νικολάου.

Τόν ὀκτάριθμον δῆμον τῶν Ἁγίων τιμήσωμεν, πᾶσαι Φθιωτῶν αἱ χορεῖαι, και τρανῶς ἀνακράξωμεν· ἀείζωοι τῆς Χάριτος κρουνοί, ἐκλάμψαντες ἐν ἄθλοις ἱεροῖς, ἰαμάτων ἐφαπλοῦτε μαρμαρυγάς, τοῖς πόθῳ ἀνακράζουσι· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι δι’ ὑμῶν, τό θεῖον ἔλεος.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄ Στιχολογίαν, Καθίσματα Ἀναστάσιμα.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἡ σεπτή πανήγυρις, ταῶν ὀκταρίθμων Ἁγίων, Φθιωτοί συνέδραμε, δεῦτε ἐν ὕμνοις και ᾠδαῖς, τούτους τιμήσωμεν λέγοντες· ὑπέρ πατρίδος, Χριστῷ ἱκετεύσατε.

Δόξα. Και νῦν. Θεοτοκίον.

Χριστωνύμους Δέσποινα, κατοίκους Φθίας, Σῇ ἀγάπῃ σκέπασον, καί πρός Χριστόν χεῖρας σεπτάς, ὑπέρ αὐτῶν αἶρε πάντοτε, ἵνα τιμῶμεν, τήν δόξαν Σου, Πάναγνε.

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος γ΄. Τήν ὡραιότητα.

Καρπούς ἐνέγκασα, ταῆς ἁγιότητος, χώρα Φθιώτιδος, ταῷ Παντοκράτορι, νῦν εὐφροσύνως ἐκτελεῖ, την μνήμην ταῶν Ὀκταρίθμων, ὧν θείαις δεήσεσι, σωτηρίαν εὐέλπιστον, ἔχει και προς μίμησιν, τούτων πάντας προτρέπεται, δοξάζουσα ἐν ὕμνοις εὐφροσύνοις, Κύριον τον αὐτούς δοξάσαντα.

Οἱ Ἀναβαθμοί τοῦ ἤχου· ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου...

Οἱ Κανόνες· ὁ Ἀναστάσιμος, τοῦ Τριωδίου καί τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς· *Χορόν τόν ἁγιώνυμον Φθιώτιδος ὑμνήσω. Ἀ*(θανάσιος).

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαράω.

Χορόν Ἁγίων ἀνυμνῶν Φθιώτιδος, Σέ δυσωπῶ Ἀγαθέ, μίαν μοι ἀκτῖνα, χάριτος κατάπεμψον, καί σκότος δυσδιάλυτον, τῆς ψυχῆς φώτισόν μου, ὅπως φαιδρῶς διηγήσωμαι, τούτων τά σεπτά κατορθώματα.

Ὁ Ἡρωδίων ὡς λαμπάς χριστόλαμπρος, πρῶτος ἐφώτισε, τοῦ Εὐαγγελίου, τοῖς σεπτοῖς διδάγμασι, τήν χώραν τῆς Φθιώτιδος, καί Ὑπάτης κατέστη, Ποιμένων βάσις καί ἄριστος, ἔνθα βίον λίθοις τετέλεκε.

Ῥητορικάς ὑθλοφωνίας πάντιμε, σοφῶς ἐνίκησας, τοῦ Χριστοῦ τήν πίστιν, ἀνδρικῶς κηρύττουσα, ἐν λόγοις τε καί πράξεσι, ὡς θεόπνους νεφέλη, τούς Φθιωτούς καταψύχουσα, Ἱερουσαλήμ Μάρτυς ἔνδοξε.

Θεοτοκίον.

Ὁ οὐρανούς δημιουργήσας Πάναγνε, Σέ ἐναπέδειξε, τῇ Αὐτοῦ σαρκώσει, οὐρανόν πολύαστρον, τάς ἀρετάς κατέχουσαν, ὑπερμέτρως ἁπάσας, καί τούς πιστούς ταῖς πρεσβείαις Σου, ἀλωβήτους Κόρη φυλάτουσσαν.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Νοῦν Χριστῷ συναρμόσας, ἀπό παιδός Ὅσιε, γέγονας Ὁσίων ἀκρότης, καί ἐγκαλλώπισμα, ὦ Ἀθανάσιε, τῶν Μετεώρων χοράρχα, καί Ὑπάτης βλάστημα, θεοχαρίτωτον.

Τόν ζυγόν προτιμήσας, τῶν μοναστῶν Ὅσιε, ἵδρυσας μονήν τῆς Παρθένου, Ἀγάθων πάντιμον, ἔνθα καί τέθαψαι, χαριτοβρύτως ἐκβλύζων, τοῖς πιστοῖς ἰάματα, καί χάριν Πνεύματος.

Ὁ Δαβίδ μοι τιμάσθω, ὁ ἱερός ᾄσμασι, φύς ἐκ τῆς κλεινῆς Γαρδινίτσης, καί κλῆσιν Γέροντος, λαβών

ἐπάξιον, ὡς μοναστῶν καθηγέτης, καί πιστῶν ὑπόδειγμα, χριστοπρεπέστατον.

Θεοτοκίον.

Νίκησόν μου τά πάθη, τά δυσαχθῆ Δέσποινα, οἷς καταβαρύνομαι σφόδρα, καί οὐ δεδύνημαι, ὀρθῶς τόν βίον μου, Χριστοῦ τοῖς λόγοις ἰσάζειν· ὅθεν μοι βοήθησον, θείαις πρεσβείαις Σου.

Τό Κοντάκιον καί ὁ Οἶκος τοῦ Τριωδίου, εἶτα Κάθισμα. Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.

Ἡρωδίωνα πάντες πιστῶς ὑμνήσωμεν, ἐνεγκόντα Φθιώτιδι Εὐαγγέλιον, ἅμα Ἱερουσαλήμ, Ἀποστόλῳ τοῦ Χριστοῦ, σύν ἑξάδι Ἀσκητῶν καί κλεινῶν Ἱεραρχῶν, οὕς πρέσβεις καταπλουτοῦμεν, καί τῶν ψυχῶν σωτηρίαν, εὐχαῖς αὐτῶν ἀπεκδεχόμεθα.

Δόξα. Τοῦ Τριωδίου. Καί νῦν. Θεοτοκίον ὅμοιον.

Ὠδή δ΄. Σύ μου ἰσχύς, Κύριε.

Ἀγγελικῶς ἤνυσας, βίον σου Ὅσιε, θείαν φλόγα, ἔχων πυρπολοῦσαν σου ἁγνήν ψυχήν· ὅθεν Σεραφείμ, τῷ ἐν Θαβωρίῳ, φαιδρῶς ἐκλάμψαντι ἤγειρας, μονήν Δομβοῦς τῷ ὄρει, καί λαμπρῶς ἀπολαύεις, νῦν τῆς δόξης Αὐτοῦ ὁσιώτατε.

Γρήγορον νοῦν ἔσχηκας, θεῖε Γρηγόριε, οὐρανίων εἰς σαφῆ κατάληψιν· διό Ποιμήν γεγονώς καλός, τῆς Ὑπάτης στέφος, τοῦ μαρτυρίου ἀπείληφας, πρό θυσιαστηρίου, ἐν ᾧ ἔθυες Πάτερ, τήν θυσίαν τήν ὄντως σωσίκοσμον.

Ἱεραρχῶν πρότυπον, Πάτερ Νεκτάριε, ἡ Φθιῶτις ἔσχε λόγου κήρυκα καί ὁδηγόν, πρός ζωήν Χριστοῦ, ἥν μή διαλίπῃς, εὐχῶν ἁγίων σου νέκταρι, ἀεί καταπιαίνειν, καί εἰς πίστιν στηρίζειν, ὡς πλουτῶν νῦν παντοῖα χαρίσματα.

Θεοτοκίον.

Ὡς ἀμελής Δέσποινα, πίπτω εἰς βάραθρα, καί παγίδας ἀντιπολεμοῦντος με, ἔνθεν βοῶ· σῶσον με ταχύ, θείαις Σου πρεσβείαις, καί ἱκεσίαις πρός Κύριον, Οὗ τήν φιλανθρωπίαν, μή νοῶν ἁμαρτάνω, καί λυπῶ τόν καλόν Εὐεργέτην μου.

## ᾨδή ε΄. Ἱνατί με ἀπώσω.

Νεουργήσας καρδίας, τῶν ἐν σκότει εἰδώλων ὄντων τό πρότερον, θεῖε Ἡρωδίων, ἐκ φθορᾶς εἰς ζωήν μετενήνοχας, Φθιωτούς καί τούτους, μέλη Χριστοῦ ἐναποδείξας, ἀντιδέχῃ εὐγνώμονα αἴνεσιν.

Ὑετός χριστοφόρος, Ἱερουσαλήμ ἐφάνης ἅπασι, τοῖς τό κήρυγμά σου, δεξαμένοις ἠθῶν τῇ ἁπλότητι, καί ναούς Κυρίου, ἔδειξας τούτους πρώην ὄντας, τῶν εἰδώλων αἰσχρά καταγώγια.

Μετεώρων ὁ στύλος, ἐκ Θεοῦ Ἀθανάσιε κατεφύτευσαι, γῆθεν τάς καρδίας, τῶν πιστῶν καθελκύων τῷ βίῳ σου, δόξαν πρός ὑπάτην, τῆς Βασιλείας τοῦ Δεσπότου, ὁ Ὑπάτης καρπός εὐκλεέστατος.

Θεοτοκίον.

Οὐρανούς ὁ τανύσας, οὐρανόν Σε Παρθένε ἔδειξε ἔμψυχον, ἐν τῇ Σῇ κοιλίᾳ, σαρκωθείς ὡς βροτός ὑπέρ ἔννοιαν, Ὅν ἱλέωσαί μοι, ἵνα καθάρῃ τήν ψυχήν μου, καί ναόν Αὐτοῦ δείξῃ με ἔμψυχον.

Ὠδή στ΄. Ἱλάσθητί μοι, Σωτήρ.

Νικήσας Πάτερ καλῶς, Ἀγάθων τόν ἐκπειράζοντα, ἀσκητικῇ βιοτῇ, Παρθένῳ ἀνέθηκας, μονήν τήν περίκλυτον, καί Χριστῷ πρεσβεύεις, ὑπέρ πάντων τῶν τιμώντων σε.

Φθιώτιδος τόν καρπόν, καί Εὐβοίας το σέμνωμα, Δαβίδ τόν θαυματουργόν, δεῦτε ἀνυμνήσωμεν· οὗτος γάρ ἐν ἅπασιν, ὀχληροῖς τοῦ βίου, βοηθός πιστοῖς παρίσταται.

Θαβώρ μονήν σου σεπτήν, ὦ Σεραφείμ ἐναπέδειξας, ἐν ᾗ τό φῶς τοῦ Χριστοῦ, πολλούς κατεφώτισεν· ὅθεν ἱκετεύομεν, ὡς συμπατριῶτας, καί ἡμᾶς αὐτοῦ ἀξίωσον.

Θεοτοκίον.

Ἰδοῦσα ἐν εὐμενεῖ, τῷ βλέμματι Παναμώμητε, ψυχήν μου τήν ταπεινήν, Χριστῷ καθικέτευσον, ἵνα ταύτην χάριτι, ταχύ ἐκκαθάρῃ, ἀξιῶν μελλούσης στάσεως.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Χαίρει Φθιώτις ἡ χριστώνυμος πᾶσα, καταπλουτοῦσα πρός Θεόν ὑμᾶς πρέσβεις, σεπτοί

οὐρανοχάριστοι ὀκτώ τόν ἀριθμόν, καί κοινήν πανήγυριν, τήν ὑμῶν ἐκτελοῦσα, χάριν ἀπεκδέχεται, καί φαιδρῶς ἀνακράζει· σκέπετε πάντας θείαις προσευχαῖς καί Βασιλείας, ἡμᾶς ἀξιώσατε.

Ὁ Οἶκος.

Τῶν εἰδώλων ἀχλύς φυγαδεύεται, ὡς τό φῶς τοῦ Χριστοῦ μετενήνεκται ἐν τῇ Φθιώτιδι καί ὁ λόγος τοῦ Κυρίου ἐσπάρη δι' Ἡρωδίωνος τοῦ Ἀποστόλου καί Ἱερομάρτυρος. Εἰς δένδρον δέ μέγα τε καί καλλίκαρπον αὐξηθέν, ἐξήνεγκεν ὡς πνευματικάς ἀπαρχάς, τήν ἁγιώνυμον καί χριστόψυχον ταύτην ἑπτάδα, ἥν ἀνυμνοῦντες εὐγνωμόνως σήμερον, ὅσοι ἐσφραγίσθημεν τοῦ Δεσποότου τῇ σφραγίδι, ἀπό ψυχῆς δεόμεθα τούτων ὡς συμπατριώται· Ὦ ἡμέτεροι φίλοι τοῦ Θεοῦ καί εὐσπλαχνικώτατοι Ἅγιοι, φωνῶν ἡμῶν ἱκετικῶν μή ἐπιλάθεσθε, ἀλλά τήν δόξαν τῆς Θεότητος αὐτοψεί καθορῶντες, τῆς Βασιλείας ἡμᾶς ἀξιώσατε.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ πρό τοῦ Εὐαγγελισμοῦ, τήν Σύναξιν τῶν ὀκταρίθμων ἐν Φθιώτιδι Ἁγίων ἑορτάζομεν, ἤτοι· Ἡρωδίωνος τοῦ Ἀποστόλου καί πρώτου Ἐπισκόπου Ὑπάτης, Ἱερουσαλήμ τῆς Ἰσαποστόλου καί Μάρτυρος, Ἀθανασίου τοῦ Μετεωρίτου ἐξ Ὑπάτης καταγομένου, Ἀγάθωνος τοῦ κτίτορος τῆς ἐπωνύμου μονῆς, Δαβίδ τοῦ Γέροντος ἐκ

Γαρδινίτσης, Σεραφείμ τοῦ Δομβοΐτου ἐκ Ζελίου, Γρηγορίου Ἐπισκόπου Ὑπάτης καί νέου Ἱερομάρτυρος καί Νεκταρίου Μητροπ. Πενταπόλεως τοῦ Θαυματουργοῦ, Ἱεροκήρυκος τῆς καθ’ ἡμᾶς Ἱερᾶς Μητροπόλεως χρηματίσαντος.

Στίχοι.

*Ἁγιοστεφῆ ὀκτάδα ἐγκωμίοις,*
*ἡ Φθιώτιδος γεραίρει Ἐκκλησία.*
*Ἁγίων χριστογδοάς, ἑβδοματικούς ὕμνους δέχοιο.*

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ'. Παῖδες Ἑβραίων.

Ὥσπερ θυσία προσηνέχθης, τῷ Δεσπότῃ σου, Γρηγόριε τρισμάκαρ, τῷ Ἀμνῷ τοῦ Θεοῦ, Ὅν ἔθυες τό πρώην, καί Οὗ τρυφᾷς τό πρόσωπον, τήν χαράν τῶν Πρωτοτόκων.

Τίς σου Νεκτάριε αἰνέσει, τήν ταπείνωσιν τήν χριστοειδεστάτην, δι’ ἧς λόγον Θεοῦ, Φθιώτιδι ἐλάλεις, ἥν μόνῃ παρουσίᾳ σου, ᾠκοδόμησας πλουσίως.

Ἴθι ὦ θεῖε Ἡρωδίων, καί Φθιώτιδα νῦν εὐσεβῶς στοιχοῦσαν, ῥήμασί σου σοφοῖς, εὐλόγει οὐρανόθεν, ὅπως Χριστοῦ ἐκλόγιον, παραμένῃ εἰς αἰῶνας.

Θεοτοκίον.

Δύναμιν δίδου τοῦ Υἱοῦ Σου, Παναμώμητε, τοῖς πόθῳ Σε τιμῶσι, δι’ ἧς παγάς εχθροῦ, ἀτρώτως

διαβῶμεν, καί δόξης ἐπιτύχωμεν, Παραδείσου ὅν ποθοῦμεν.

Ὠδή η΄. Τόν ἐν ὄρει ἁγίῳ.

Ὁ ἀνθρώπων ποθῶν τήν σωτηρίαν, ἐξαπέστειλεν ἐνταῦθα θείαν δᾶδα, σέ Ἱερουσαλήμ, τό σκότος τῶν εἰδώλων, διώξασαν καί στήσασαν, τοῦ Σταυροῦ τρόπαιον μέγα.

Στῆθι λίθος ἀκλόνητος παμμάκαρ, Ἀθανάσιε Ὑπάτης θεῖον τέκνον, τάς σάς χεῖρας ὑψῶν, καί χάριν τοῦ Κυρίου, καταβιβάζων ἅπασι, Φθιωταῖς ὁμοπατρίοις.

Ὑπερέβης Ἀγάθων τήν σήν φύσιν, καί ὡμοίωσαι Ἀγγέλοις ἀσωμάτοις, μεθ’ ὧν δέου ἀεί, ὑπέρ τῆς σῆς πατρίδος, τά ἆθλα θαυμαζούσης σου, καί τιμώσης σε ἐν πόθῳ.

Θεοτοκίον.

Μή παρίδῃς τήν ποίμνην Σου Παρθένε, τῆς Φθιώτιδος τήν χώραν προικοῦσαν, ἀλλ’ὡς Μήτηρ Ἁγνή, ἐφάπλωσον Σήν σκέπην, κινδύνων ἀποτρέπουσα, καί ἐχθρῶν τάς ἐπηρείας.

Ὠδή θ΄. Ἐξέστη ἐπί τούτῳ.

Νικήσας τόν θρασύδειλον Γολιάθ, ὦ Δαβίδ τῇ ὁσίᾳ κοιμήσει σου, θαυματουργός, δέδειξαι παμμάκαρ παρά Χριστοῦ, Ὅν ἐκτενῶς ἱκέτευε, ὑπέρ τῆς πατρίδος σου τῆς κλεινῆς, τιμώσης τήν σήν μνήμην, καί ἐκ ψυχῆς χαιρούσης, ἐπί τῷ βίῳ τῷ ἁγίῳ σου.

Ηὐφράνθησαν τά φλέγοντα Σεραφείμ, σέ ἰδόντα ὦ Πάτερ ἐν σώματι, ἀγγελικόν, βίον ἐξασκήσαντα θαυμαστῶς· ἡ δέ πατρίς σου γάννυται, βλέπουσα ἑστῶτα σύν τοῖς χοροῖς, ἁπάντων τῶν Ἁγίων, καί θείαις εὐλογίαις, ὦ Σεραφείμ σοῦ ἀπεκδέχεται.

Σφαγείς διά τήν πίστιν τήν ἀληθῆ, Ποιμενάρχα Ὑπάτης Γρηγόριε, ὥσπερ κριός, νῦν σύν Πρεσβευτέροις συλλειτουργεῖς, τῆς ἀσαλεύτου Πόλεως, ἔνθα καταξίωσον σαῖς εὐχαῖς, καί πάντας τούς τιμῶντας, τήν πανσεπτόν σου μνήμην, δεικνύς τά σπλάγχνα τά φιλότεκνα.

Ὡς πάντερπνος ἐπίστεψις τῷ χορῷ, τῶν Ἁγίων Φθιώτιδος τέθεισαι, θαυματουργέ, ὅτε τῇ προνοίᾳ τῇ θεϊκῇ, ἐνταῦθα διηκίονησας, σπείρας ταῖς καρδίαις λόγον Θεοῦ· νῦν δ᾽ ἔχων παῤῥησίαν, Νεκτάριε Αἰγίνης, ὑπέρ ἡμῶν Χριστόν ἱκέτευε.

Θεοτοκίον.

Ἀγγέλων καί Ἁγίων παντοχαρά, Θεοτόκε ὑπάρχουσα πρέσβευε τῷ Σῷ Υἱῷ, σύν αὐτοῖς δωρήσασθαι καί ἡμῖν, χαράν τήν ἐπουράνιον, ὅπως ἀνυμνῶμεν διά παντός, Τριάδα τήν Ἁγίαν, Φθιώτιδος Ἁγίους, τούς ὀκταρίθμους ἀναδείξασαν.

Ἐξαποστειλάρια.

Τό Ἀναστάσιμον.

Εἶτα τῶν Ἁγίων. Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀγάλλου ἡ Φθιώτιδος, τοῦ Χριστοῦ παροικία, σήμερον μνήμην ἄγουσα, ὀκταρίθμων Ἁγίων, τῶν ὧδε ποικιλοτρόπως, τόν Θεόν δοξασάντων, καί εἰληφότων στέφανον, ἁγιότητος· οὕς περ καταπλουτεῖς, πρέσβεις πρός ἐπίτευξιν σωτηρίας, μεσίτας τε πρός Κύριον, ἐν δεινοῖς βίου τοῦδε.

Καί τοῦ Τριωδίου, Θεοτοκίον ὅμοιον.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά τοῦ Τριωδίου γ΄ καί Προσόμοια τῶν Ἁγίων γ΄. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Χαῖρε Φθιῶτις χριστώνυμε, μνήμην Ἁγίων ὀκτώ, ἑορτάζουσα σήμερον, τῶν τήν σήν περίοικον, πληρωσάντων τῆς Χάριτος, ταῖς ἐπιπνοίαις καί θείοις θαύμασι, καί ἀγαγόντων, εἰς γνῶσιν τέκνα σου, ψυχοσωτήριον, καί στησάντων τρόπαια τῆς ἀρετῆς, βίου καθαρότητι, καί τῇ ἀγάπῃ Χριστοῦ.

Χαίροις Ἡρωδίων πάνσοφε, σύν τῇ ἀμνάδι Χριστοῦ, Φθιωτούς οἱ φωτίσαντες· χαίροις Ἀθανάσιε, τῆς Ὑπάτης τό βλάστημα· χαίροις Ἀγάθων τῆς Θεομήτορος, μονήν ὁ πῆξας, θείοις ἱδρῶσι σου· χαίρετε ἅπαντες, καί Χριστῷ πρεσβεύσατε διηνεκῶς, ὅπως δῷ τήν ἄφεσιν, ἁμαρτημάτων ἡμῶν.

Χαίροις Δαβίδ Γέρον τίμιε, καί Σεραφείμ θαυμαστέ· χαίροις Πάτερ Γρηγόριε, Ποιμενάρχα ἄριστε, καί Μαρτύρων συνόμιλε· χαίροις Αἰγίνης κλέος Νεκτάριε, οἱ ἐν Φθιώτιδι διαπρέψαντες· ἧν

παμμακάριστοι, πάντοτε φυλάττετε ἀπό παντός, τοῦ ἐχθροῦ βουλήματος, Χριστῷ πρεσβεύοντες.

Δόξα. Ὁ αὐτός.

Τήν ἐν Χριστῷ ἁγιώνυμον ἀποδεκάτωσιν τῆς Φθιώτιδος, τούς ἐραστάς τοῦ ἀφθάρτου αἰῶνος, τούς τῆς ὀγδόης ἰσαρίθμους καί ἡμετέρους ὁδηγούς, καί πρεσβευτάς πρός Κύριον, δεῦτε ὦ φιλόχριστοι, μελωδικῶς σήμερον ἀνυμνήσωμεν, μιμούμενοι τάς πράξεις τούτων καί τούς βίους, ἵνα καί συμμέτοχοι τῆς δόξης αὐτῶν γενώμεθα, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

Καί νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις...

Μεγαλυνάριον.

Χαίρει ἡ Φθιώτις πνευματικῶς, ὀκτάδα Ἁγίων, κεκτημένη ἐν οὐρανοῖς, τῷ Χριστῷ ἀπαύστως, ἐπαίρουσαν τάς χεῖρας, καί θείας εὐλογίας, καταβιβάζουσαν.

Στίχοι.

*Ἀφθίτου κάλλους τυχόντες τῆς ὀγδόης,*
*τοῦτό μοι, Ἅγιοι Φθιώτιδος, δότε.*